UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

LXVI. De tollendis conventiculis haereticorum.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

ritate temporum, qua divino beneficio fruimur, ut qui cum bona spe ac fiducia vitam agunt, ab omni inordinato errore ad rectum tramitem, à tenebris ad lucem, à vanitate ad veritatem, à morte denique ad vitam traducantur. Atque ut hujus remedii vis ac virtus necessaria sit, cuncta uti jam diximus superstitionis vestræ conciliabula, id est, omnium hæreticorum oratoria, si tamen oratoria dici debent, sine ulla contradictione ipsis adempta, Catholicæ Ecclesiæ incunctanter tradi præcepimus: reliqua autem loca publico adjudicari; nec ullam deinceps eo conveniendi licentiam vobis relinqui. Adeò ut à præsenti die, nullo prorsus in loco tam publico quam privato, illegitimi vestri cœtus audeant convenire. Proponatur.

A διχόνοια. πρέπει γὰρ τῇ ἡμετέρᾳ μακαριότητι, ἧς ἀπολαύομεν σὺν Θεῷ, τὸ τοὺς ἐπ' ἐλπίσιν ἀγαθαῖς βιοῦντας, ἀπὸ πάσης ἀτάκτου πλάνης εἰς τὴν εὐθεῖαν ὁδὸν. ἀπὸ τοῦ σκότους ἐπὶ τὸ φῶς, ἀπὸ ματαιότητος εἰς τὴν ἀλήθειαν. ἀπὸ θανάτου πρὸς σωτηρίαν ἄγεσθαι. ὑπὲρ δὲ τοῦ τῆς θεραπείας ταύτης καὶ ἀναγκαίαν γενέσθαι τὴν ἰσχὺν, προσετάξαμεν καθὼς προείρηται, ἅπαντα τὰ τῆς δεισιδαιμονίας ὑμῶν συνέδρια, πάντων φημὶ τῶν αἱρετικῶν τοὺς εὐκτηρίους, εἴ γε εὐκτηρίους ὀνομάζειν οἴκους προσήκει, ἀφαιρεθέντας ἀναντιρρήτως, τῇ καθολικῇ ἐκκλησίᾳ χωρὶς B ὑπερθέσεως παραδοθῆναι. τοὺς δὲ λοιποὺς τόπους τοῖς δημοσίοις προσκριθῆναι, καὶ μηδεμίαν ὑμῖν εἰς τὸ ἑξῆς τοῦ συναγαγεῖν εὐμάρειαν καταλειφθῆναι. ὅπως ἐκ τῆς ἐνεστώσης ἡμέρας, ἐν μηδενὶ τόπῳ μήτε δημοσίῳ μήτ' ἰδιωτικῷ ἀθέμιτα ὑμῶν συστήματα ἀθροισθῆναι τολμήσῃ. προτεθήτω.

## Caput LXVI.

*Quomodo nefariis libris apud hæreticos repertis, plurimi eorum ad Catholicam redierint Ecclesiam.*

C Hoc igitur modo hæreticorum cubilia Imperiali præcepto dissipata sunt, & feræ ipsæ, id est, impietatis illorum auctores in fugam acti. Eorum verò qui ab istis decepti fuerant, alii quidem Imperatoris minis perterriti, spurio quodam & adulterino sensu in Ecclesiam irrepserunt, pro tempore callidè dissimulantes. Nam quoniam libros eorum perquiri lex jubebat, quicumque vetitis artibus operam dabant, deprehendebantur. Quam ob causam simulatione utebantur, cuncta agentes ut salutem sibi compararent. Alii verò sincerè atque ex animo ad spem meliorum transfugerunt. Porrò Ecclesiarum D Antistites in utrósque sollicita inquisitione facta, eos quidem qui ovium pellibus obtecti simulanter accedere tentarent, procul abigebant. Eos vero qui sincerè id agerent, aliquanto tempore exploratos, post idoneam probationem in numerum eorum qui ad sacros conventus admittebantur, retulerunt. Et hoc quidem modo cum abominandis hæreticis agebatur. Ceterùm ii qui nullam in dogmatibus suis impietatem præferrent, sed quorundam schismaticorum culpâ à communi societate sejuncti essent, sine mora in Ecclesiam sunt admissi. Hi ergo gregatim tan-

## ΚΕΦΑΛΑΙΟΝ ξϛ'.

*Ὅπως βιβλίων ἀθεμίτων παρ' αὐτοῖς εὑρεθέντων, πολλοὶ τῶν αἱρετικῶν εἰς τὴν καθολικὴν ἐκκλησίαν ὑπέστρεψαν.*

C Οὕτω μὲν τὰ τῶν ἑτεροδόξων ἐκρύμμαλα, βασιλικῷ προστάγματι διελύετο. ἠλαύνοντό τε οἱ θῆρες, οἵ τε τῆς τούτων δυσσεβείας ἔξαρχοι. τῶν δ' ὑπὸ τούτων ἠπατημένων, οἱ μὲν νόθῳ φρονήματι, βασιλικῆς ἀπειλῆς φόβῳ, τὴν ἐκκλησίαν ὑπεδύοντο, τὸν καιρὸν κατειρωνευόμενοι. ἐπεὶ δὲ καὶ διερευνᾶσθαι τῶν ἀνδρῶν τὰς βίβλους διηγόρευεν ὁ νόμος, ἡλίσκοντο τότε ἀπειρημένας οἱ κακοτεχνίας μετιόντες. οὗ δὴ χάριν, πάντ' ἔπραττον, εἰρωνείᾳ τὴν σωτηρίαν ποριζόμενοι. οἱ δὲ, καὶ σὺν ἀληθεῖ τῷ λογισμῷ ηὐτομόλουν ἐπὶ τὴν τοῦ κρείττονος D ἐλπίδα. τούτων δὲ τὴν διάκρισιν οἱ τῶν ἐκκλησιῶν πρόεδροι σὺν ἀκριβείᾳ ποιούμενοι, τοὺς μὲν ἐπιπλάστως προσιέναι πειρωμένους, μακράν που τοῖς προβάτων κωδίοις ἐγκρυπτομένους ἀπέπεμπον. τοὺς δὲ ψυχῇ καθαρᾷ τοῦτο πράττοντας, δοκιμάζοντες χρόνῳ, μετὰ τὴν αὐτάρκη διάπειραν τῷ πλήθει εἰσαγομένων κατέλεγον. ταῦτα μὲν οὖν ἐπὶ τῶν δυσφήμων ἑτεροδόξων ἐπράττετο· τοὺς δέ γε μηδὲν δυσσεβὲς δογμάτων διδασκαλίᾳ φέροντας, ἀλλὰ τῆς κοινῆς ὁμηγύρεως ἀνδρῶν σχισματικῶν αἰτίᾳ διεστῶτας, ἀμελλήτως εἰσεδέχοντο. οἱ δ' ἀγε-

ληδὸν ὥσπερ ἐξ ἀποικίας ἐπανιόντες, τὴν αὐτῶν ἀπελάμβανον πατρίδα, καὶ τὴν μητέρα τὴν ἐκκλησίαν ἐπεγίνωσκον. ἧς ἀποπλανηθέντες χρόνιοι σὺν εὐφροσύνῃ καὶ χαρᾷ τὴν εἰς αὐτὴν ἐπάνοδον ἐποιοῦντο. ἡνοῦτό τε τὰ τοῦ κοινοῦ σώματος μέλη, καὶ ἁρμονίᾳ συνήπτετο μιᾷ· μόνη τε ἡ καθολικὴ τοῦ Θεοῦ ἐκκλησία εἰς ἑαυτὴν συνεστραμμένη διέλαμπε, μηδαμοῦ γῆς αἱρετικοῦ συστήματος, μηδὲ σχισματικοῦ λειπομένου. καὶ τούτου δὲ μόνου τοῦ μεγάλου κατορθώματος, μόνος τῶν πώποτε τὴν αἰτίαν ὁ τῷ Θεῷ μεμελημένος βασιλεὺς ἐγράφετο.

A quam ex peregrina regione redeuntes, patriam suam postliminio recuperarunt, matrémque Ecclesiam agnoverunt. A qua cùm diutissimè aberrassent, tandem læti atque hilares post longum temporis spatium ad eam remeabant. Totius ergo corporis membra communi inter se vinculo jungebantur, & una compages coalescebat. Soláque Catholica Dei Ecclesia, aptè sibi cohærens refulgebat; nullo aut hæreticorum aut schismaticorum collegio usquam gentium relicto. Atque hujus præclari facinoris, solus omnium qui unquam exstiterunt Imperator noster Deo acceptissimus, auctor fuit.

## ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΛΟΓΟΥ ΤΑ ΚΕΦΑΛΑΙΑ.

α' Ὅπως δωρεαῖς καὶ προκοπαῖς ἀξιωμάτων ἐτίμα τοὺς πλείστους.
β' Συγχώρησις τοῦ τετάρτου μέρους τῶν κήνσων.
γ' Ἐξισώσεις τῶν βεβαρημένων κήνσων.
δ' Ὅτι τοῖς ἐν χρηματικαῖς δίκαις ἡττηθεῖσιν, αὐτὸς ἐξ οἰκείων ἐχαρίζετο.
ε' Σκυθῶν ὑποταγὴ, διὰ τοῦ σημείου τοῦ σταυροῦ τοῦ Σωτῆρος ἡμῶν νικηθέντων.
ς' Σαυροματῶν ὑποταγὴ, προφάσει τῆς τῶν δούλων ἐπαναστάσεως.
ζ' Βαρβάρων διαφόρων πρεσβεῖαι, καὶ δωρεαὶ παρ' αὐτοῦ.
η' Ὅτι καὶ πρεσβευσαμένῳ τῶν Περσῶν βασιλεῖ, περὶ τῶν ἐκεῖ χριστιανῶν ἔγραψεν.
θ' Κωνσταντίνου Αὐγούστου πρὸς Σαπώρην τὸν βασιλέα Περσῶν, ὁμολογοῦντα εἰς Θεὸν καὶ Χριστὸν εὐσεβέστατα.
ι' Ὅτι κατὰ εἰδώλων, καὶ περὶ Θεοῦ δοξολογίας.
ια' Ὅτι κατὰ τυράννων καὶ διωκτῶν, καὶ περὶ Οὐαλεριανοῦ αἰχμαλωτισθέντος.
ιβ' Ὅτι τῶν μὲν διωκτῶν εἶδε τὰς πτώσεις. εὐθυμεῖ δὲ νῦν διὰ τὴν τῶν χριστιανῶν εἰρήνην.
ιγ' Παρακλήσεις ὥστε τοὺς παρ' αὐτῷ χριστιανοὺς ἀγαπᾶν.
ιδ' Ὅπως χριστιανοῖς μὲν ἦν εἰρήνη, σπουδῇ τῶν Κωνσταντίνου προσευχῶν.
ιε' Ὅτι καὶ ἐν νομίσμασι καὶ ἐν εἰκόσιν ὡς εὐχόμενον ἑαυτὸν ἐχάραττεν.
ις' Ὅτι καὶ ἐν εἰδωλείοις εἰκόνας αὐτοῦ θεῖναι, νόμῳ διεκώλυσεν.
ιζ' Ἐν Παλατίῳ προσευχαὶ, καὶ θείων γραφῶν ἀναγνώσεις.
ιη' Τῆς κυριακῆς τὴν ἡμέραν καὶ παρασκευῆς, νομοθεσία τιμᾶν.
ιθ' Ὅπως καὶ τοὺς ἐθνικοὺς στρατιώτας ἐν κυριακαῖς εὔχεσθαι προσέταξεν.
κ' Εὐχῆς ῥήματα στρατιώταις ὑπὸ Κωνσταντίνου δοθείσης.
κα' Ἐν τοῖς τῶν στρατιωτῶν ὅπλοις σημεῖα τοῦ σταυροῦ τοῦ Σωτῆρος.
κβ' Σπουδὴ προσευχῆς, καὶ τιμὴ τῆς τοῦ Πάσχα ἑορτῆς.
κγ' Ὅπως εἰδωλολατρείαν μὲν ἐκώλυσε. μάρτυρας δὲ καὶ ἑορτὰς ἐτίμα.
κδ' Ὅτι τῶν ἔξω πραγμάτων ὥσπερ Ἐπίσκοπον ἑαυτὸν εἶπεν εἶναι.
κε' Ὅτι περὶ κωλύσεως θυσιῶν καὶ τελετῶν καὶ μονομαχιῶν, καὶ τῶν τοπρὶν ἀκολάστων τοῦ Νείλου.
κς' Νόμου τοῦ κατὰ ἀτέκνων ὄντος διόρθωσις. ἔτι δὲ καὶ τοῦ περὶ διαθηκῶν ὁμοίως διόρθωσις.
κζ' Ὅτι χριστιανὸν μὲν Ἰουδαίοις μὴ δουλεύειν. τῶν δὲ συνόδων βεβαίους τοὺς ὅρους εἶναι ἐνομοθέτει, καὶ τὰ λοιπά.
κη' Ἐκκλησίαις δωρεαί. παρθένοις τε καὶ πένησι διαδόσεις.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN